LES

LÉGENDES GRECQUES

DES

SAINTS MILITAIRES

CHAPITRE PREMIER

INTRODUCTION

Le nombre des saints de l'Église Grecque qui, d'après leurs Actes, ont été engagés dans le service militaire, et que les artistes représentent avec la cuirasse, le bouclier et la lance, est relativement considérable. A côté des célèbres phalanges des quarante martyrs de Sébaste, des martyrs de Mélitène conduits par S. Hiéron [1], de la troupe des compagnons de S. Maurice [2] et d'autres groupes moins nombreux, comme ceux des SS. Probus, Tarachus, Andronicus [3], des SS. Juventin et Maximin [4], des SS. Sergius et Bacchus [5], la liste des saints comprend

1. *Passio S. Hieronis et soc.* dans Migne *P. G.*, t. CXVI, p. 109-120. La Passion la plus ancienne de S. Hiéron est inédite, et sera publiée dans les *Acta Sanctorum*, au 7 du mois de novembre.

2. *Passio S. Mauricii et soc. LXX* dans *P. G.*, t. CXV, p. 356-72.

3. *Acta SS.*, oct., t. V, p. 566-84.

4. Le seul texte que l'on possède sur ces saints est l'homélie de S. Jean Chrysostome. Montfaucon, t. II, p. 578-83.

5. *Acta SS.*, oct., t. III, p. 833-83 ; *Analecta Bollandiana*, t. XIV, p. 373-95.

Λ

H, N. ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ[1] ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΕΡΚΟΥΡΙΟΥ.

1. Δέκιος ἡνίκα καὶ Βαλεριανὸς[2] ὁ μὲν ἐπὶ τῶν τῆς Ῥώμης σκήπτρων ἦν, ὁ δὲ τοῖς τῆς ἐξουσίας[3] θρόνοις ἐφήδρευεν, ὡς ἂν[4] ἀπορουμένου Δεκίου μόνου περὶ τὴν τῶν δημοσίων διοίκησιν κρίναντός τε τοῦτον ἔχειν τῶν ἄλλων μᾶλλον συλλήπτορα, τὰ χριστιανῶν ἐκηρύττετο. Οἱ δὲ ὑπερηγανάκτουν καὶ πρὸς ὀργὴν ἀνήκεστον ἐξανήπτοντο, ἐπὶ μέγα μὲν τὰ τῶν οἰκείων θεῶν αὔξειν διανοούμενοι, παντὶ δὲ τρόπῳ περικόψαι καὶ ἐκτεμεῖν τοὺς τῇ Τριάδι λατρεύοντας διαμελετῶντες· ὅθεν ἃ πρότερον ἐν τῇ καρδίᾳ κακά, ὡς ὁ ψαλμῳδὸς εἰπεῖν, ἐμελέτησαν, ταῦτα μετ' οὐ πολὺ καὶ τοῖς ὀλλίοις ἐξήνεγκαν χείλεσι, τὸ πάντα τὸν ἑαυτὸν χριστιανὸν ὀνομάζοντα θάνατον ἔχειν τὸ ἐπιτίμιον· ὡς ἂν δὲ κατὰ τὸ δεισιδαιμονεῖν φανῶσι πάντων ἐπιμελέστεροι, τὸ σκέμμα καὶ τοῖς περὶ αὐτοὺς ἄρχουσιν ἐκοινώσαντο. Ἐπεὶ δὲ κἀκείνους συνηγοροῦντας εὗρον αὐτοῖς καὶ μακαρίους λογιζομένους τοῦ ἐννοήματος, τηνικαῦτα κατὰ τῶν χριστιανῶν ἀμάχῳ θυμῷ χωροῦσι· τὰ δόξαντα δὲ ὧδέ πως ἔχουσι τοῖς θεσπίσμασιν ἐβεβαίουν·

2. « Βασιλεῖς αὐτοκράτορες, τροπαιοῦχοι, νικηταί, εὐσεβέστατοι[5], ἀεισέβαστοι, μέγιστοι, Δέκιος καὶ Βαλεριανὸς τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν. Ἐπειδὴ πολλὰ τὰ εἰς[6] ἡμᾶς τῶν

1. καὶ ἐνδόξου *om.* H. — 2. Βαλλεριανὸς *hic* H. — 3. G. N; Ἀσίας H. — 4. *om.* H. — 5. εὐσεβεῖς H. — 6. πρὸς H.

ἀθανάτων θεῶν εὐεργετήματα πέφυκε καὶ ὡς ἀπὸ πηγῶν ῥέοντα καὶ νῦν μὲν νίκαις ταῖς κατ' ἐχθρῶν στεφανούμεθα, νῦν δὲ ταῖς ἀφθόνοις τῶν ὑπηκόων χορηγίαις ἐνευφραινόμεθα εὐφορίαις τε γῆς συγχαῖρον τὸ ὑποχείριον ἔχομεν, τούτων χάριν αὐτοῖς δὴ τοῖς ἡμετέροις θεοῖς βραχύ τι καὶ ἡ ἡμετέρα γαληνότης διανοουμένη χαρίσασθαι, ἐλαφρὸν τοῦτ' ἡγεῖται καὶ ἄπονον, πᾶσαν μὲν ἡλικίαν, πᾶσαν δὲ διαφορὰν τύχης καὶ φύσεως ἀντιδεξιοῦσθαι τούτους τὸ κατὰ δύναμιν σπονδαῖς τε καὶ θυμιάμασι καὶ παιάνων ᾠδαῖς. Εἰ δέ τις ἀπειθῶν φαίνοιτο, τὸ κεκινδυνευμένως ἄρτι παρεισῳκισμένον ὄνομα τῶν χριστιανῶν ἑαυτῷ ἐπιγραφόμενος, ὡς μανθάνομεν, καλὸν μέν[1], εἰ μηδὲ ὀλίγον αὐτῶν ἐφροντίζομεν, ἀλλὰ κρημνὸς αὐτοὺς ἢ σταυρὸς[2] ἢ σίδηρος εὐθὺς ἐξεδέχετο· ἐπεὶ δὲ τοῖς ἀθανάτοις περισσεύειν οἶδε καὶ τὸ φιλάνθρωπον, ἀξιούσθωσαν οὗτοι καὶ λόγων καὶ παραινέσεων, ὡς ἄν, εἰ μὲν τῶν εὐγνωμονεστέρων εἶεν καὶ συνετῶν, ἐπιλάβωνται τοῦ συμφέροντος, γνόντες εἰς ὅσον ἀπωλείας ἀποπεπτώκασι, καὶ παρ' ἡμῖν ἀπολαύσωσι πλήθους τε δωρεῶν καὶ μεγέθους τιμῶν· αὐτὸ γὰρ τοῦτο τὸ μὴ παραπολέσθαι τινὰ ἐκ πολλῶν[3] πολλοῦ δικαίως τιμώμεθα. Εἰ δὲ καὶ οὕτω τύχῃ τις ἐξ αὐτῶν σκαιὸς εἶναι σφόδρα καὶ δύσερις, ὡς ἐπιμένειν τῷ χαλεπῷ τούτῳ τολμήματι καὶ βασάνων εἰς πεῖραν ἐλθὼν μηδὲ οὕτως ἀφίστασθαι ἀλλ' εἰς τέλος τῆς καινῆς ταύτης ἀντέχεσθαι φλυαρίας, πᾶν εἶδος αὐτῷ κολάσεως ἐν τῷ φανερῷ παρασκευαζέσθω, ἁπλῶς δὲ ἅπας χριστιανὸς γενέσθω τῆς πρὸς τοὺς ἀθανάτους θεοὺς εὐνοίας ὑμῶν ἔργον τε καὶ ἀγώνισμα, κακὸς κακῶς ἀπολλύμενος[4]. »

3. Ταῦτα ἐπεὶ[5] τὰ θεσπίσματα πρῶτα μὲν ἀνὰ τὰς τῆς Ῥώμης κατήχθησαν ἀγοράς, ἔπειτα δὲ τοῖς ἁπανταχοῦ τοπάρχαις διεκομίσθησαν, τοὺς μὲν γὰρ ἔπεμπε Δέκιος, ἑτέρους δὲ καταταχύνων αὖθις ἔπεμπεν· οἵ γε καθάπερ τινὲς σκυθρωποί τε καὶ ἀτυχεῖς ἐπεχωρίαζον[6] ταῖς πόλεσι δαίμονες πάσῃ τε

1. H. N. *om.* G. — 2. ἢ σπ.) H. N. *om.* G. — 3. πολλοῦ H. — 4. H, ἀπολούμενος G, ἀποθούμενος N. — 5. *om.* H. — 6. ἐπιχωριάζοντες H.

χειρὶ τοῖς ἄρχουσι συνελάμβανον. Οἷς μὲν οὖν ἐτύγχανε πάτριον τὸ προσέχειν εἰδώλοις, σπουδῇ τῇ πάσῃ παρὰ τούτων πάντα προσήγετο, ἃ τὸ τῶν εἰδώλων αὔξειν ἐδόκει σεβάσμιον· οἷς δὲ τὸ χριστιανοὺς[1] εἶναι ἢ ἐκ πατέρων ὥς τις ἐσῴζετο κλῆρος[2] ἢ παρ' ἑαυτοῦ τις τὸ τῶν ξοάνων καταμαθὼν ἀσθενέστατον τῆς τῶν ἑλλήνων ἑαυτὸν ἀπέστησε δόξης καὶ πρὸς τὴν εὐσέβειαν μετετάξατο, τούτων ὁ μὲν κατήγγελτο[3], ὁ δὲ[4] ὑπὸ φρουρὰν κατεκλείετο, ἄλλος δὲ διαβολὰς ἁπάσας ἐξ αἰτιουτοῦ μηδενὸς ὑφίστατο· εἶχε γὰρ ὁ διαβάλλειν βουλόμενος τὸν ἑκάστης πόλεως ἄρχειν[5] λαχόντα καὶ πρὸς αὐτὰς τὰς ὑποψίας[6] εὐθέως κινούμενον· οἳ καὶ πρὸς ἐπισκευὰς βασάνων ὑπῆρχον ὀξεῖς καὶ δεινότατοι· ὅθεν καὶ πρὸς κακίαν ἀφόρητοι ἦσαν[7] κἀκεῖνος παρὰ τοῖς βασιλεῦσιν ἐπισημότερος ὃς τῶν ἄλλων χριστιανοῖς ὠμότερος ἦν[8]· οὕτω τεταραγμένους καταμαθόντες τοὺς ὑπὸ τοῖς Ῥωμαίοις ὄντας οἱ βάρβαροι πρὸς τὸν κατ' αὐτῶν ἐξανίστανται πόλεμον. Ἀμέλει καὶ τῷ ἀδοκήτῳ τοῦ πράγματος καταπλαγέντες οἱ βασιλεῖς τὸ στράτευμα συνῆγον καὶ τὰς δυνάμεις συνέταττον καὶ τοῖς τῶν στρατιωτῶν προεστῶσιν ἐκέλευον τάχει παντὶ συλλέγειν αὐτοὺς εἶναί τε πρὸς ἀντιπαράταξιν εὐτρεπεῖς· πολλῶν οὖν ἑτέρων ἐκ διαφόρων πρότερον συλλεγέντων τῶν πόλεων, εἶτα καὶ ὁ τῶν λεγομένων Μαρτησίων ἀριθμὸς ἐξ Ἀρμενίας ὕστερον κατειλήφει, ἀδρότερος ὢν τῶν ἄλλων καὶ τοῖς οἰκειοτέροις τῷ βασιλεῖ συνταττόμενος, ὑπὸ κόμητα τυγχάνων, ᾧ Σατορνῖλος τὸ ὄνομα.

4. Δεκίου γοῦν συνελθόντος τῇ ἐκστρατείᾳ, Βαλεριανὸς τὰς ἐν τῇ πόλει δυνάμεις ἐξήταζε καὶ τοὺς πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο καὶ χεῖρα συχνὴν ἐκεῖθεν ἐξάγων τοῖς τῷ Δεκίῳ συνοῦσιν ἀεὶ προσετίθει. Μετ' οὐ πολὺ δὲ μάχη τε συνεράγη καὶ ἡ κατὰ πρόσωπον συνῆλθεν ἀντίστασις. Καὶ Ῥωμαῖοι μὲν τὰ τῆς ἀρετῆς ἐπεδείκνυντο καὶ τῶν πολεμίων εἰς τέλος ἐφιλονείκουν κρατεῖν. Οἱ βάρβαροι δὲ θυμῷ πλέον

1. χριστιανοῖς H. — 2. ἐ. κ.) κ. ἐ. H. — 3. κατηγγέλλετο G, H. — 4. *om.* H. — 5. ἀρχὴν H. — 6. (τ. ὑ.) N, ὑπ. H, *om.* G. — 7. ἦσαν ἀφ. H. — 8. *om.* H, N.

ἢ τάξει συνείχοντο καὶ συώδεις τὰς ἐμβολὰς ἐποιοῦντο. Πλὴν ἀλλὰ καὶ οὕτως[1] καρτερῶς ἀντεφιλοτιμοῦντο περὶ τῶν ὅλων· καὶ Ῥωμαῖοι μὲν τοῖς ὅπλοις ἐσκευασμένοι λαμπρῶς προθυμίας ἔργα καὶ χειρὸς ἐπεδείκνυντο, οἱ βάρβαροι δὲ ὡς ἔτυχεν ἔχοντες — φιλοκερδὲς γὰρ τὸ σκυθικόν, οὐ φιλόκοσμον — διεκαρτέρουν ὅμως καὶ ἐπὶ πλεῖστον ἀντέπιπτον καὶ τὰς ὁρμὰς ἀνεδέχοντο, ἄχρις ἂν τῶν τις ἀνὴρ Ῥωμαίων[2] καὶ τῆς τῶν Μαρτησίων ὢν παρατάξεως[3], τὸ γένος ἐκ Σκυθῶν ἕλκων, πατρὸς ὢν οὐκ ἀσήμου Γορδιανοῦ τοὔνομα, αὐτὸς δὲ Φιλοπάτωρ μὲν κατονομαζόμενος, Μερκούριος δὲ τὸ ἐπώνυμον ἔχων, ᾧ καὶ μᾶλλον ἢ τῷ ὀνόματι καλούμενος ἐγνωρίζετο, οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, γενναιότατα διακόπτων τὰς[4] παρεμβολὰς καὶ λεόντειον κατ' αὐτῶν ἐπιδεικνὺς ὅρμημα, κατὰ τύχην ἐπὶ δεξιὰ νεύσας λευχείμονά τινα καθορᾷ τῇ χειρὶ ῥομφαίαν διεσπασμένον φιλίως τε αὐτῷ προσλαλοῦντα καὶ τὴν ψυχὴν ἐκθαρρύνοντα[5]· « Ἑταῖρε » γὰρ ὁ φανεὶς ἔφη, « Μερκούριε, πρός σέ με ὁ τῶν κυρίων ἀπέστειλε κύριος, ἰσχὺν δι' ἐμοῦ σοι δωρούμενος καὶ τὸ κράτος κατὰ τῶν ἀντιτεταγμένων ἀπρόσμαχον. Ταύτην οὖν τὴν ῥομφαίαν δεξάμενος ἔμβαλε κατ' αὐτῶν τῇ τοῦ Χριστοῦ[6] δυνάμει καὶ δεξιᾷ τοὺς πολεμίους τροπούμενος· ἐγὼ δέ σοι καὶ περὶ τῶν μελλόντων ἐρῶ καὶ εἰς οἷον πέρας τὰ σὰ καταντήσει· γενήσῃ μὲν τῷ ἀριστεύματι διαβόητος τῶν συστρατιωτῶν τε[7] φανήσῃ περιδοξότερος· ἔσται δέ σοι καὶ πλοῦτος ἐκ βασιλέως οὐ μετρητὸς εἰς ἀντίδοσιν· πλὴν ἡ τοῦ εὐεργετήσαντος[8] μνήμη τοῦ σε οὕτως[9] Θεοῦ ἐνισχύσαντος τῇ καρδίᾳ ἐνσημανθήτω σου καὶ κυρίου τοῦ Θεοῦ σου ἐπιλήσῃ μηδέποτε. Δεῖ γάρ σε καὶ ὑπεραθλῆσαι τούτου καὶ τὸν τῆς μαρτυρίας στέφανον ἀναδήσασθαι[10]. » Τούτοις ὡς εἰκὸς ἐκπλαγεὶς ὁ Μερκούριος συνεστάλη τῷ καινοπρεπεῖ[11] τοῦ θεάματος

1. οὕτω H. — 2. (ἀ. P.) P. ἀ. H. — 3. π. ὢν H. — 4. πάσας H. — 5. (κ. τ. ψ. ἐκθ.) *om.* H. — 6. Θεοῦ H. — 7. H, *om.* G. — 8. εὐεργετήματος H. — 9. οὕτω H. — 10. ἀν. στεφ. H. — 11. καινοπρεπος *corr.* H.

καὶ τοῦ θυμικωτέρου μεταβαλὼν σχῆμά τε τὸ πολεμιστήριον ἀποθέμενος καὶ τὸ ξίφος οὐ μετὰ χεῖρας ἔχων, ἀλλ' εὐθέως ὑποζωσάμενος, οἱονεὶ παῖς ὡρᾶτο μετὰ φόβου παιδαγωγούμενος· θάρσους δὲ καὶ προθυμίας πάλιν ὑποπλησθεὶς ὑπὸ τῆς χάριτος[1] πολὺν ἐν ὀλίγῳ κατὰ τῶν βαρβάρων ἐξέκαυσε τὸν θυμόν. Διατεμὼν οὖν τῆς φάλαγγος τὸ βαθύτατον, ἀπείρους τῶν ὑπαντώντων παίων ἀνήρει ἀτρέπτῳ τε ψυχῆς παραστήματι εὐθὺ κεχώρηκε τοῦ τῶν βαρβάρων ἀφηγουμένου, ῥᾴγα τοῦτον καλεῖν σύνηθες· τῶν γοῦν εἰς χεῖρας αὐτῷ ἐρχομένων οἱ μὲν καὶ αὖθις κατέπιπτον, πολλῷ δὲ πλείους τῶν συγκοπέντων μακρόθεν ὑπέφευγον, μόνῃ τῇ θέᾳ τὴν τοῦ τρισαριστέως ῥώμην οὐχ ὑπομένοντες· καί τις αὐτὸν πολλάκις βέλει περιξύσας ἢ δόρατι θάνατον ἀπρόοπτον ἀντεκομίζετο[2]· ἐπεὶ δὲ τῶν ἐπιβοηθούντων σωματοφυλάκων, πρὸς δὲ καὶ τῶν δορυφορούντων, ὁ τῶν βαρβάρων ἄρχων γεγύμνωτο, ἔτι δὲ ἀλκὴν[3] σώματος ὁ γενναῖος ἀνυποστάτως φερόμενος καὶ τούτου δὴ τοῦ ῥηγὸς καιρίαν κατενεγκὼν ἔτεμνε τοὺς λοιποὺς οὐδενὸς ἑτέρου συμπράττοντος· ὅθεν οἱ Σκύθαι τοὺς ἀνδρικωτάτους αὐτῶν καὶ πρὸς τόλμαν εὐψύχους τοὺς μὲν κειμένους ἰδόντες, οὓς δὲ καὶ λίαν αἰσχρῶς φεύγοντας, τὰ τῆς ἀσφαλείας καὶ αὐτοὶ τοῖς ποσὶν οὐ τοῖς ὅπλοις πιστεύσαντες, εἰς φυγὴν εὐθέως ἐτράποντο.

5. Δέκιος οὖν ὁ βασιλεὺς ὑπερήσθη τῷ κατορθώματι· ἀνηγγέλη γὰρ αὐτῷ ὅσα κατὰ τῶν πολεμίων Μερκούριος δέδρακε καὶ ὅτιπερ ἔθνος ὅλον μυριάνδρον ἑνὸς εἶξεν ἀριστέως ὁρμήματι[4]· καὶ τοῦτον δὴ παραυτίκα μεταπεμψάμενος ἐπὶ πάνυ πολλαῖς ἀγαθαῖς τῶν Ῥωμαίων ἐλπίσι στρατηλάτην τετίμηκε τοῦ στρατοπέδου τε παντὸς ἀπέφηνεν ἄρχοντα καὶ πράττειν ἐπὶ πᾶσι τὰ κατὰ θέλησιν προετρέψατο. Πάνυ γὰρ Μερκουρίῳ προσεῖχε τὸν νοῦν, ὑπερεπῄνει τοῦ κατορθώματος, ὑπερεφίλει τῆς ὄψεως, ὥστε τοὺς θεοὺς ὁ τύραννος πολλάκις ὀμνύμενος

1. ὑπὸ τῆς χ. πληρωθεὶς H. — 2. ἀπρ. ἀντ. θάνατον H. — 3. διαλκὴν H. — 4. ὁρμὴ H.

εἰς πίστιν βεβαιοτέραν προσετίθει τοῖς ὁμωμοσμένοις καὶ τὸ τοῦ Μερκουρίου σωτήριον, ἀνθ' ὧν ἔναγχος ἰσχυρόν τε καὶ μέγιστον τὸ τῆς ἀνδρίας δοκίμιον δέδωκε. Τὸ μὲν οὖν ὑπ' αὐτῷ τῶν στρατιωτῶν πλῆθος φιλοτίμως δεξιωσάμενος Δέκιος πρὸς τὴν οἰκίαν ἀφῆκεν ἕκαστον· αὐτὸς δὲ εἰς Ῥώμην ἀναστρέφων τὸν στρατηλάτην εἶχεν ἑπόμενον καὶ πᾶσάν[1] τε αὐτῷ συνευωχούμενον τὴν ἡμέραν. Οὕτω Μερκουρίῳ τῶν πραγμάτων διοικονομηθέντων, ἐν μιᾷ τῶν νυκτῶν ὁ ἐπιφανεὶς αὐτῷ πρότερον καὶ πάλιν ὀπτάνεται[2]. Ὁ δὲ διϋπνισθεὶς ἐξαίφνης ἀνίσταται καὶ τὰς χεῖρας συναγαγὼν ἐν δουλικῷ τῷ προσχήματι τῷ ὁραθέντι παρίσταται. Ὁ φανεὶς δὲ τῷ Μερκουρίῳ ὁᾗθεν διεφιλονείκει τε καὶ τὴν[3] λήθην ὠνείδιζε καὶ[4] ὅτι μὴ τὸν χρήσιμον αὐτῷ ἐπ' ἀνάγκαις γεγενημένον μᾶλλον ἠγάπησεν, ἀλλὰ Δέκιον· « Οὐκ οἶσθα γάρ, ὁ ἄγγελος ἔφησεν, ὅτι περ, ὁπόταν τὴν ῥομφαίαν σοι ἐνεχείριζον καὶ θάρσους ἐνεπίπλων[5], οὕτως ἔφην[6]· Κυρίου τοῦ Θεοῦ σου μὴ ἐπιλάθῃ; ὑπὲρ αὐτοῦ γάρ σε δεῖ καὶ ἀθλῆσαι καὶ τὸν τῆς μαρτυρίας ἀναδήσασθαι στέφανον· οὐ μετὰ τῆς αὐτοῦ συμμαχίας μυρίους κατίσχυσας; οὐ σὺν αὐτῇ τοὺς τοσούτους κατεστρατήγησας; οὐκ ἀγαθός σοι μᾶλλον τῶν βασιλικῶν οἰκημάτων[7] οὗτος ὁ φαινόμενος οὐρανός, ὃς ἡλίῳ μὲν περιλάμπεται, νυκτὸς δὲ σελήνης φωτὶ καταυγάζεται διαπρεπῶς τε τῷ πυρὶ τῶν ἄστρων ἀνθεῖ; » Ἐπὶ τούτοις ὁ μὲν ὁραθεὶς ἀπέστη, Μερκούριος δὲ συναγαγὼν ἑαυτὸν τοῦτο μὲν τῶν παρὰ τοῦ φανέντος ἑαυτῷ[8] λελεγμένων, τοῦτο δὲ καὶ ὧν παρὰ τοῦ πατρὸς πολλάκις κατήκουεν εἰς ἀνάμνησιν ἤρχετο. Ἦν γὰρ κἀκεῖνος τῶν κεκρυμμένων Χριστοῦ μαθητῶν, εἰ καὶ τοῦ Μαρτησίων τάγματος πριμικήριος ἐτύγχανεν ὤν· ὃς καὶ τοιαῦτα τῷ παιδὶ παρῄνει καὶ ὑπετίθετο, ὡς εἴη βασιλεὺς ὁ Χριστὸς προαιώνιος καὶ τῶν ὁρωμένων πάντων δεσπότης καὶ κύριος, τοὺς οὐρανοὺς[9] παραγαγὼν καὶ

1. κατὰ πᾶσαν H. — 2. ὀπτάνετο H. — 3. εἰς H. — 4. *om.* H. — 5. ἐπίμπλων H. — 6. σοι *add.* H. — 7. εἰς κατοικίαν *add.* H. — 8. αὐτῷ H. — 9. τε λόγῳ *add.* H.

θαλάσσης κύτος ἐξηπλωκὼς γῇ τε θεμέλιον ὕδωρ δοὺς καὶ πάντα φέρων αὐτοκρατῶς ἐρχόμενός τε πάλιν μετὰ δόξης πολλῆς[1] κρῖναι ζῶντας καὶ[2] νεκρούς. Ταῦτα δὴ κατὰ νοῦν συμβαλὼν ὁ Μερκούριος ἐπ' ἀγκῶνος γνωσιμαχῶν ἐκαθέζετο· τέλος δὲ ποταμοῖς δακρύων ἔγνω προοιμιάσασθαι τὴν μετάνοιαν. Μεμνημένος οὖν τῶν τε κακῶς αὐτῷ δεδογμένων καὶ τῶν[3] τοῦ πατρὸς καλῶς νενουθετημένων, ὀδυρμοῖς καὶ θρήνοις ἐκόπτετο. Οὕτω μὲν οὖν εἶχε Μερκούριος.

6. Ἐπεὶ δὲ μετεπέμψατο τοῦτον ὁ Δέκιος ἕνα τοῦ συνεδρίου καθάπερ σύνηθες γενέσθαι βουλόμενος, ὁ δὲ ἀνεβάλετο[4], εἰσαύριον ἥξειν ἐπαγγειλάμενος, ἔλυσε μὲν ὁ βασιλεὺς παραχρῆμα τότε τὸν σύλλογον, ὅτι μὴ παραγεγόνει Μερκούριος τὴν σύναξιν μέλλων ἐπικοσμεῖν· αὐτὸς δὲ σχολάζων ἐπέμενε τὴν παρὰ τοῦ Θεοῦ γνῶσιν τοῦ συμφέροντος ἐξαιτούμενος. Ὡς δὲ τῷ βουλευτηρίῳ τῇ ἑξῆς ὑπήντησε κατὰ τὴν ὑπόσχεσιν· « Εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος ἴωμεν, ἔφη Δέκιος, θύμασί τε αὐτὴν καὶ εἰς τὸ ἐπιὸν ἱλασώμεθα· αὐτὴ γὰρ ἀκινδύνως σε τῷ τῶν καθ' ἡμῶν φονώντων περιερράντισεν αἵματι, τὴν δεξιάν σου κατ' αὐτῶν θαυμασίως νευρώσασα. » Ὁ στρατηλάτης οὖν[5] τὸν χρόνον ἀνατιθεὶς[6] πιθανὸς ἐδόκει τέως καὶ ὑποψίας ἐναντίας τῷ βασιλεῖ ἀλλότριος· ὅθεν ὁ μὲν εἰς τὰ βασίλεια καὶ αὖθις ἀπῄει, Μερκούριος δὲ εἰς τὰς ἀφωρισμένας[7] τῶν οἰκιῶν τοῖς εἰς τὸ τοιοῦτον ἀναβεβηκόσι τοῦ στρατηλάτου ἀξίωμα[8]. Ἀνὴρ δέ τις, ἐξ ὑπάτων ἄρτι πεσών, πανουργότατος ὢν ἅμα καὶ δολιώτατος, ἐν ὑπονοίαις εἶχε τὸν ἅγιον· δι' ἐλπίδα δὲ τιμῆς, ὡς ἔνι σκοπεῖν, κατεῖπε τούτου πρὸς Δέκιον· « Ἥκω σοι » λέγων « μέγιστε βασιλεῦ, οὐκ ἴδιόν τι δηλώσων ἀλλὰ τὸ κοινῇ[9] μάλιστα χρήσιμον· ἐγὼ τῇ σῇ κρίσει Μερκούριον τοῦ στρατοπέδου κατάρξαντα σφόδρα διὰ τιμῆς εἶχον καὶ ὑπανιστάμην αὐτῷ καὶ μεθιστάμην[10], ὁπότε προσίοι, διὰ πολλῆς αἰδοῦς

1. (μετὰ — πολλῆς) *om.* H. — 2. τοὺς *add.* H. — 3. παρὰ *add.* H. — 4. ἀνεβάλλετο H. — 5. πάλιν *add.* H. — 6. ὑπερτιθεὶς H. — 7. ἀφωρισμένους H. — 8. ἀξίμα G. — 9. τὰ *add.* H. — 10. (αὐτῷ — μεθιστάμην) *om.* H.

τὸν ἄνδρα τιθέμενος· ἑώρων τε γὰρ ὡς εὐεργέτην καὶ τῶν μεγίστων ἔκρινον ἀξιώτατον. Ἐπεὶ δὲ νῦν ἐκ προνοίας τἀναντία φρονοῦντα πρὸς θεοὺς πεφώρακα καὶ μονονουχὶ τοὺς βωμοὺς καταστρέφειν αἱρούμενον, τοὺς τοιούτους λόγους προέτεινα, γνώριμόν σοι τὸν ἄνδρα ποιῶν. Σὺ δέ, ὦ γαληνότατε, οὐ πρὸς ὀργήν, ὡς ἴσμεν, οὐδὲ λύπῃ νικώμενος ὡς ἡμεῖς αὐτὸ τὸ πρᾶγμα βαθέως ἅμα καὶ συνετῶς σκοπήσας δοκιμάσεις ὡς ἄριστα, ὅπερ αὐτὸν προσήκει παθεῖν, οὕτω μὲν παρὰ τοῦ σοῦ κράτους τετιμημένον, οὕτω δὲ πρὸς τὴν τοιαύτην τύχην ὑβρίσαντα καὶ τοὺς θεοὺς ἐν οὐδενὶ θέμενον· ὃς οὐχ ἱκανὴν νομίσας τὴν αὐτοῦ πρὸς τοὺς θεοὺς περιφρόνησιν σπουδὴν τίθεται καὶ ἑτέρους τὰ ὅμοια τούτῳ παρασκευάσαι φρονεῖν. » Τούτων ἀκούων ὁ Δέκιος οὔτε τὸν ἄνθρωπον διωθεῖτο καθάπαξ, οὐκ εὐκαταφρόνητον εἶναι τὸ ῥηθὲν λογισάμενος, οὔτε μὴν καθ' ὅλου νενόμικεν ἀξιόπιστον, οἰηθεὶς εἰκὸς εἶναι καὶ διὰ φθόνον ταῦτα συσκευασθῆναι· ὅθεν « Οὐκ ἂν ἐκ πρώτης, » ἔφη, « διαβολῆς, ὦ Μέτελλε, κεκινημένος Μερκουρίου καταψηφίσομαι· μειρακιῶδες γὰρ τοῦτο καὶ ἀτεχνῶς ἄδικον· ἀλλ' ἐνδιατρίψω περὶ τὴν ἔρευναν· καὶ εἰ μὲν εὑρεθήσομαί σε[1] διαφθονούμενον καί, ὅτιπερ αἰτιώτατος μόνος τῆς πρὸ μικροῦ νίκης ἐγεγόνει Μερκούριος, βασκήνας αὐτῷ τῆς δόξης τάδε συκοφαντεῖς, οὐ χρηστή σοι κείσεται ἀνταπόδοσις· εἰ δὲ πρὸς ἀλήθειαν μᾶλλον ἐφθέγξω, ἐπαινέσομαί σε καὶ τῶν εἰρημένων σοι[2] διαμνημονεύων ἀναλογοῦσαν παρέξω καὶ τὴν ἀντίδοσιν. »

7. Ἐκ τοῦ παραχρῆμα δὲ τιμίως τὸν στρατηλάτην μεταπεμψάμενος Δέκιος[3]· « Οὐκ ἐγώ σε, εἶπεν, ἀξιώματί τε τῷ ἐπισημοτάτῳ τετίμηκα καὶ τῶν ἀρχόντων ἄρχοντα τῇ τῶν θεῶν βουλήσει κατέστησα καὶ τῇ συγκλήτῳ πρῶτον ἐθέμην; ὅθεν — οὐδὲ γὰρ ἐπικρύψομαι τὸ παράδοξον — αἱ παρατάξεις σοι τῶν Σκυθῶν ἐνδεδώκασι[4]; πόθεν οὖν ἡ τοσαύτη περιέσχε σε φρενοβλάβεια; πόθεν οὓς ἔδει τιμᾶν σε θεοὺς καὶ ὡς εὐεργέταις αὐτοῖς εὐνοεῖν, ἀτιμοῖς μᾶλλον καὶ εἰς μυκτηρισμὸν καὶ γέλωτα τὰ

1. σοι H. — 2. *om.* H. — 3. *om.* H. — 4. H, N, ἐκδεδώκασιν G.

ἐκείνων ποιεῖς; ἀλλὰ γὰρ ἀεὶ τὰ τῶν ἀγαθῶν μεγέθη τοὺς πολλοὺς εἰς ὕβριν διερεθίζει· ποῦ τοίνυν τὸ περὶ τὴν ἡμετέραν ἐξουσίαν εὐπειθές, ὦ Μερκούριε, καὶ περὶ τὰ παραγγέλματα ὀραστικώτατον; ὅπερ ἐσκηνοποίητό σοι δηλαδὴ καὶ σχήματι μᾶλλον οὐ πράγματι ἐνομίζετο[1]. » Καὶ ταῦτα μὲν ὁ βασιλεύς. Μεταξὺ δὲ δημηγοροῦντος αὐτοῦ, διακόπτειν ἐπειρᾶτο τὸν λόγον ὁ μάρτυς, τὴν ἀκαιρίαν ὥσπερ ἐπιμεμφόμενος. Ἐπεὶ δὲ καὶ τοῦ λέγειν ἐπαύσατο, ὅλον ὁ ἀθλητὴς κατὰ τὸν μέγαν ἀπόστολον τὸν παλαιὸν μὲν ἀποδυσάμενος ἄνθρωπον, τὸν δὲ νέον ἐπενδυσάμενος[2], ὅῆλον ἑαυτὸν καθιστᾷ καί φησι μετὰ παρρησίας· « Οὐδὲν ἐμοὶ καὶ τῇ σῇ τιμῇ, βασιλεῦ· ἐπὶ σοὶ αὕτη καὶ τοῖς ταύτην μεταδιώκουσιν εἴη· ἐμοὶ δὲ μέλει[3] τιμῆς ἄρα πολλῷ τῷ μείζονι μείζονος· ὡς γὰρ τῷ πολέμῳ τῇ τοῦ Θεοῦ μου δυνάμει κεκρατηκώς, ἐκεῖθεν γάρ μοι προφανῶς ἡ βοήθεια, παρὰ σοῦ προεδρίας ἀξίωμαι, οὕτω καὶ σὲ νικῆσαι δι' ἐκείνου πειράσομαι, ἵνα καὶ τῆς τιμῆς, ἧς ἐρῶ, δι' αὐτοῦ τύχοιμι. Πάντων γὰρ τῶν ἐν τῷ κόσμῳ πολλῶν ὄντων καταπεφρόνηκα διὰ τὴν τοῦ πνεύματος ἐντολήν, ἐν ἴσῳ ταῦτα καπνοῦ καὶ κόνεως θέμενος· οὐδὲ γὰρ ἂν παραθεῖναι τολμήσω τοῖς παροῦσι τὰ μέλλοντα, ἐπείπερ ταῦτα μὲν ὡς εἰπεῖν ἀπανθεῖ καὶ μαραίνεται, τὰ δ' ἐν παραδείσῳ, ὧν σύ, βασιλεῦ, ἑκὼν ἑαυτὸν ἀπεστέρησας, ἀναλάμπει καὶ τέθηλεν εἰς ἀεί τε διαμένει, πολλὴν ἐν ἀπολαύσει τὴν εὐφροσύνην παρέχοντα. » Ἐπὶ τούτοις χριστιανὸν ὁ γεννάδας ἑαυτὸν ἀνεκήρυττε, πάντα τε[4] πάσχειν ἀπέφαινε προθυμότατον, δημίων ἐξεκαλεῖτο καὶ χεῖρας καὶ μάστιγας, τὸν τοῦ δικάζοντος θυμὸν ἀνῆπτε καὶ διηρέθιζε. Τὴν ζώνην οὖν λύσας εὐθὺς ἀποδυσάμενός τε χλαμύδα τὴν ἀρχικήν· « Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός, ἔλεγε, γυμνὸς ἐκεῖ καὶ διὰ τὸν ζῶντα Θεὸν ἀπελεύσομαι· ἡ χλαμύς, ἡ ζώνη τῶν σῶν ἀξιωμάτων τὰ σύμβολα· δίδωμί σοι[5], ὦ Δέκιε, τὰ παράσημα ταῦτα[6] καὶ ἑκὼν αὐτῶν ἀπαλλάττομαι. Τί γὰρ ἐμοὶ καὶ τούτοις κοινόν, ἑτέρας ἐρῶντι δόξης, οὐ τῆς παρούσης; » Μετὰ δὴ

1. ἐγνωρίζετο H. — 2. μηδὲν μηδ' ὅλως ὑποστειλάμενος *add.* H. N. — 3. μέλλει H. — 4. *om.* H. — 5. (τὰ — σοι) *om.* H. — 6. (τὰ — ταῦτα) *om.* H.

τὸ τὴν ζώνην μὲν ἀπορρῦψαι, τὴν χλαμύδα δὲ καταθεῖναι παρὰ τῷ βασιλικῷ θρόνῳ τὸν μάρτυρα, τότε μᾶλλον αὐτὸς ἀπερίσκευός τε καὶ μικροῦ γυμνὸς ὁραθεὶς θαυμάσιος ἔδοξε τὴν μορφὴν τοῖς εἰς τὴν ἀπόφασιν παρειλημμένοις τῆς ἐξετάσεως· εὐθὺς δὲ τὴν ὥραν ὡς εἶδε, καταπλαγεὶς Δέκιος, διαπρεπὴς γὰρ εἰ καί τις τῷ σώματι καὶ τῇ τῶν μελῶν εὐρυθμίᾳ Μερκούριος, οὐκ εἶχε τῆς θέας ἀποσπάσαι τοὺς ὀφθαλμοὺς οὐδὲ ἄλλοθί που πολλῶν ἀνθελκόντων μεταγαγεῖν. Οὐδὲν οὖν ἕτερον μετὰ χρόνον ἀλλ' ἢ τὴν κεφαλὴν ἐπισείσας εἰς τὴν εἱρκτὴν ἀπαχθῆναι προστάττει τὸν ἅγιον, λάθρᾳ τοῖς τοῦτον ἀπάγουσιν ἐπισκήψας ἀπειλαῖς αὐτὸν ἐκπλῆξαι καὶ τῆς πολλῆς ταύτης ἐνστάσεως ὑφεῖναι παρασκευάσαι. Ὁ δὲ ὡρᾶτο τοῖς προσιοῦσιν ἀνθηρότερός τε τὴν ὄψιν καὶ ἱλαρώτατος, ὥστε τοῖς πᾶσι γενέσθαι καταφανές[1], ὅτιπερ εὐφροσύνης ἡμέραν ἐκείνην ὅλως ἐνόμισεν, ἐν ᾗ παρέστη τῷ βήματι καὶ χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε[2]. Κατὰ τὴν φρουρὰν οὖν ὁ μάρτυς γενόμενος καὶ τὰς χεῖρας εἰς οὐρανοὺς ἄρας[3], ἅμα μὲν ηὐχαρίστει τῷ τὴν ψυχὴν παρρησίας πληρώσαντι, ἅμα δὲ καὶ τὴν ὁμοίαν ᾔτει παρὰ Χριστοῦ καὶ εἰς τὸ ἑξῆς περιποιηθῆναι αὐτῷ γενναιότητα. Ταῦτα δὴ προσευχομένου καὶ ἱκετεύοντος ἐπὶ μακρῷ, διῆλθε τὰ τῆς νυκτός· κατὰ δὲ τὸ ταύτης μεσαίτατον ὁ φανεὶς αὐτῷ καὶ πάλιν καταπεφοίτηκεν ἄγγελος, τοῖς δεδογμένοις ἐμμένειν ἀσφαλιζόμενος καὶ τὸν εἰς τὴν ἐκείνου ψυχὴν ἐμφυτευθέντα πόθον Χριστοῦ περιβάλπειν εἰς δύναμιν εἰσέτι τε τῶν ἑλλήνων ἐνώπιον τὸν Χριστὸν κηρύττειν Θεὸν ἀληθῆ, ὃς καὶ πάσης μὲν ἀνάγκης αὐτὸν καὶ θλίψεως ἐξαιρήσεται, πάντων δὲ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀγγέλων παρισταμένων στεφάνῳ κατακοσμήσει μαρτυρικῷ ἀντὶ προσκαίρου τε καὶ βραχείας ὀδύνης πολλὴν ὅτι καὶ ἀΐδιον εὐφροσύνην ἀντιδωρήσεται.

8. Ὅλως τοιγαροῦν τοῦ μάρτυρος τῶν τοῦ φανέντος τότε γενομένου παραγγελμάτων, ἐπεὶ ἡμέρα τε διεφάνη καὶ Δέκιος μὲν ἐπὶ καθέδρας ἐπιρρμένης ἐφαίνετο αὐτός τε παρίστατο,

1. N. H. *om.* G. — 2. ἐκήρυξε H. — 3. ἄρας εἰς οὐρ. H.

ὑπούλως πως ὁ τύραννος πρὸς ὁμαλότητα τὸ ἦθος μεταβαλών[1], ὀλιγώτατα προσεφέρετο. « Οὕτω δέον, εἶπών, στρατηλάτᾳ τιμᾶσθαί σε παρ' ἡμῶν· » ἔτι γὰρ αὐτὸν εἰς μνήμην ἦγε τοῦ ἀξιώματος τῷ φιλοτίμῳ σαίνειν οἰόμενος καὶ οὕτω ὀλιγωρῶς ἐκκρούειν[2] τὸ εἰς Χριστὸν τοῦ μάρτυρος φίλτρον. Ὁ δὲ καὶ πάνυ ταύτην ἔφη τὴν στάσιν παθεῖν· « οἶδε γὰρ αὕτη καθέδραν ἐμοὶ καὶ δόξαν αἰώνιον προξενεῖν. » Ἐπὶ τούτοις ὁ μὲν[3] βασιλεὺς παρατείνειν ἔτι τὴν ὁμιλίαν βουλόμενος, ὡς ἂν μὴ βραδὺς[4] δόξῃ μηδὲ ταχύς τις[5] πρὸς ὀργήν· « Τίς σου ἡ ἐξ ἀρχῆς κλῆσις; » εἶπε[6] τῷ μάρτυρι· ὁ δὲ Φιλοπάτωρ μὲν ὀνομασθῆναι παρὰ τοῦ πατρὸς ἀπεκρίνατο, ὑπὸ τοῦ τριβούνου δὲ μετὰ ταῦτα Μερκούριος· « Τί οὖν; » γεγωνότερόν πως καὶ ἀγριώτερον ἐκπεφωνήκει ὁ τύραννος, παραγυμνῶν ὥσπερ τὴν κεκρυμμένην διάνοιαν « ἀπολαμβάνων τὴν προϋπηργμένην σοι τιμήν, ὦ Μερκούριε, τοῖς τῶν θεῶν ἐπιθύεις βωμοῖς; καὶ οἴδως τὸ προσῆκον σέβας αὐτοῖς; ἢ καὶ ἔτι τοῖς αὐτοῖς ἐπιμένεις, τῆς ἡμετέρας παρατρυφῶν ἡμερότητος καὶ περὶ τοὺς σωτῆρας μὲν θεοὺς ἀσεβῶς ἀχαρίστως δὲ περὶ ἡμᾶς διακείμενος; » Τούτοις μηδὲν καταπλαγεὶς ὁ Μερκούριος μηδὲ τὸν ἐκείνου θυμὸν ὑποπτήξας μετὰ πολλῆς ἀπελογεῖτο τῆς παρρησίας· « Ἐγὼ πάλαι προωρώμην σου τὴν διάνοιαν, ὦ βασιλεῦ, καὶ τὸ τῆς ψυχῆς ὁποῖον ἐγίνωσκον, ἐφυλαττόμην δέ σου καὶ τὴν δοκοῦσαν ταύτην φιλανθρωπίαν, ἀφορμὴν ἀεὶ γινομένην[7] σοι τοῦ καθ' ἡμῶν στρατηγήματος· ὅθεν οὐδέν με καταπλήττει τῶν σῶν· τί οὖν τὸν χρόνον τρίβεις καὶ ἀναβάλλῃ[8] τὴν βούλησιν καὶ μὴ ἃς δοκεῖς μεγίστας[9] ἐπάγεις μοι τῶν κολάσεων; ἔστι μοι καὶ κράνος καὶ θώραξ καὶ θυρεός, οἷς σοί, βασιλεῦ, ἀντιτάξομαι, οἷς καὶ τρόπων ἐπιβουλὰς νικήσω καὶ χειρῶν ἐπιβολὰς[10] διαφεύξομαι· χώρει γοῦν ἀπὸ τῶν λαθραίων ἐπὶ τὰς φανερωτέρας τῶν ἀναγκῶν· οὐδὲ γὰρ Μερκούριος πρᾶξαί ποτε καταδέξαιτο[11] τὰ τοῖς ἐχθροῖς

1. ὡς ἂν ἐκ τοῦ ἴσου αὐτῷ *add.* H. — 2. ἐκρύειν H. — 3. *om.* H. — 4. βαρὺς H. — 5. ὢν *add.* H. — 6. εἶπεν H. — 7. ἀεὶ *add. hic* H. — 8. ἀναβάλῃ G. — 9. μείστους G. — 10. (νικήσω — ἐπιβολὰς) *om.* H. — 11. καταδέξεται H.

τοῦ Χριστοῦ εὐκταιότατα, εἰ καὶ σπλάγχνα ταῖς πληγαῖς γυμνωθῇ, εἰ τὸ πᾶν τῆς ἰσχύος ἀναλωθῇ ταῖς βασάνοις [1], εἰ καὶ ἐπ' αὐτοῦ μοι τοῦ φάρυγγος ὁ σίδηρος διαβῇ καὶ ἄλλα τινὰ τῶν πώποτε γενομένων [2] κολαστήριά μοι καινουργηθῇ. »

9. Τότε δὴ Δέκιος ὡς πᾶσαν ἀπράκτως καταναλώσας τὴν τῶν λόγων πειθώ, τὸ πᾶν εἰδίδου θυμῷ, οὕτωσὶ δέ πως διαπαίζων τὰ λελεγμένα τῷ μάρτυρι πάνυ χολούμενος ἐπέταττε τοῖς τῆς τάξεως ἐμβριθῶς ἅμα καὶ μανικῶς [3] « Ἐπείπερ » λέγων « ὁ γεννάδας οὗτος ἐξ οὐδεμιᾶς αἰτίας ἠθέλησεν ἐμπορεύσασθαι τὰ συμφέροντα, ἀλλ' ὡς ὁρᾶτε πρὸς τοσαύτην ἐξ ἀπονοίας ἦλασε δυστυχῶς [4] ἄνοιαν, ὥστε καὶ γυμνὸς ἀξίως πρὸ τῶν ὀφθαλμῶν ἡμῶν τῷ φρικώδει τούτῳ [5] βήματι παριστάμενος, οὐκ οἶδα τίσιν ἐλπίσιν αἰωρηθείς, ἀσπίδι πεφράχθαι λέγει καὶ θώρακι καὶ τὴ ψυχὴν ἐπάνω παντὸς ἔχειν ἐγκαυχᾶται δεινοῦ, τηλικούτων δὲ [6] ἀπειλῶν μέγεθος ἐκκαλεῖται, σχοινίοις ἐκ τεσσάρων δεθεὶς εἰς τὸν ἀέρα διατεινέσθω μετέωρος, αἱ τῶν σχοίνων δὲ τέσσαρες ἀρχαὶ πάλοις τισὶ προσδεδέσθωσαν, ἵνα σφοδρῶς οὕτω διατεινόμενος αἴσθηται, οἷων ἀπολαύειν τῶν ἡδέων ἐπιθυμεῖ. » Ἐπεὶ οὖν οἱ στρατιῶται τὸ κεκελευσμένον ὡς τάχος ἐποίουν· « Ποῦ σοι τὰ ὅπλα; » Δέκιος [7] κατειρωνευόμενος ἔφη. Ὁ δὲ ταῖς τῶν τῇ γῇ πεπηγμένων σκολόπων ἀνθολκαῖς βιαίως κατατεινόμενος, καὶ οὕτω γενναίως ἐγκαρτερῶν, ἄνω βλέψας εἰς [8] οὐρανὸν λαμπρὰν ἀφῆκε καὶ μακαρίαν φωνήν· « Κύριε Ἰησοῦ Χριστέ, λέγων, βοήθησόν μοι τῷ δούλῳ σου. » Ὁ τύραννος οὖν εἰς ὕβριν τὴν πρὸς αὐτὸν ἀποσιώπησιν [9] λογισάμενος, ἑτέρας ἐπὶ τῇ προτέρᾳ δύο προστίθησι βασάνους κομιδῇ χαλεπάς, ἃς μόνος Μερκούριος ἔδειξε φορητάς. Τοῖς μὲν γὰρ τῶν δημίων μαχαιρίσι τὸ ἐκείνου σῶμα τέμνειν προστάττει, τοῖς [10] δὲ πῦρ ἠρέμα κάτωθεν ὑποκαίειν, ὥστε ταῖς τομαῖς μὲν τὰς σάρκας αὐτοῦ καταρρεῖν [11], τῷ καπνῷ δὲ καὶ τῷ τῆς

1. (ἀ. τ. β.) τ. β. ἀ. H. — 2. γινομένων H. — 3. (ἐμβριθῶς — μανικῶς) *om.* H. — 4. *om.* H. — 5. (πρὸ — τούτῳ) τῷ H. — 6. τ. τε H, τηλικούτω δὲ G. — 7. τῷ ἁγίῳ *add.* H. — 8. τὸν *add.* H. — 9. τοῦ μάρτυρος *add.* H. — 10. τοὺς H. — 11. αὐτοῦ καταρρεῖν N, H, *om.* G.

φλογὸς ἄσθματι[1] κατὰ βραχὺ συμπνίγεσθαί τε καὶ κατατήκεσθαι. Ταύτας ὁμοῦ τὰς ἀπανθρωποτάτας ὁ θεῖος[2] μάρτυς ὑφιστάμενος τιμωρίας, ἐπὶ μᾶλλον ἐρρώννυτο[3]· καὶ χεῖρες μὲν αὐτῶν[4] δημίων ἔκαμνόν τε καὶ διελύοντο, αὐτὸς δὲ πρὸς πολλὰς[5] ὥρας διεκαρτέρει τῇ ἐπικλήσει Χριστοῦ δυναμούμενος· καὶ τὸ μὲν πῦρ τοῖς αἵμασι κατεσβέννυτο, τὸ δὲ τῆς τοῦ ἀθλητοῦ διανοίας μᾶλλον ἐξήπτετο[6] πρόθυμον. Τότε γοῦν ἀμηχανήσας ὁ Δέκιος[7] τῷ παραδόξῳ[8] τοῦ πράγματος, ἅμα δὲ καὶ τοῦ τί δράσειεν εἰς τὸ μέλλον ἐξαπορούμενος[9], ἀνικήτῳ προσπολεμῶν, ἀνεθῆναι μὲν τῶν δεσμῶν, ἐν οἴκῳ δὲ σκοτεινῷ κλεισθῆναι τοῦτον διακελεύεται. Οἱ τιμωροὶ δὲ τὸν ἅγιον, ἐπεὶ μὴ ποσὶν βαδίζειν ἐδύνατο[10], ἑαυτοῖς ἐπιφορτισάμενοι τῷ ζοφερῷ ἐκείνῳ καταικλείουσι τόπῳ, τὴν ψυχὴν ἐκπνεῦσαι προσδόκιμον ὄντα· καὶ οὕτω μὲν οἱ ἀλάστορες αὐτὸν καταλιπόντες[11] ἀπῄεσαν· ὁ δὲ μάρτυς ἐν τῇ φρουρᾷ ἐπὶ κατατετμημένῳ τῷ σώματι ἀκεραίαν τὴν ψυχὴν περισῴζων εἶχετο τῆς εἰς Χριστὸν προσευχῆς καὶ μόνῳ τῷ νῷ συνελάλει Θεῷ. Ἄγγελος δὲ πάλιν συνήθως παρίσταται βοηθῶν ἐπιφωνῶν τε τὰ μάλιστα προσηνῶς[12]· « Εἰρήνη σοι, γενναῖε ἀγωνιστά » ἅμα δὲ τῷ λόγῳ καὶ ὑγιῆ ἀποκαθιστῶν[13] ὡς τὸ πρότερον.

10. Δι' ὅλης δὲ τῆς νυκτὸς ὑπνομαχῶν φροντίσιν ὁ τὴν μανίαν ἀφόρητος βασιλεὺς καὶ τὴν ἧτταν οὐ φέρων, ἣν ἐπὶ πολλοῖς τοῖς ὁρῶσι Μερκούριος αὐτὸν ἥττησεν, ἅμα δὲ καὶ τοῖς ὠσὶν ἔχων ἐνηχοῦντα τὰς εἰσηγήσεις ὃν ἐκ πρώτης τριχὸς ἠσπάζετο δαίμονα, ἔτι τι[14] καὶ νυκτὸς ἐχούσης αὖθις ἐδέχετο μὲν τὸ βῆμα τὸν τύραννον, ἡ δὲ τάξις ἦγε τὸν ἅγιον. Ἐπεὶ δὲ καὶ παρέστη Μερκούριος ὅλος ἄρτιος, ὅλος ὑγιεινός, εὐθὺς καὶ πρὸς αὐτὴν τὴν ὄψιν ἐξεπέπληκτο Δέκιος, οὕτως ὑγιῶς ἔχοντα βλέπων, ὃν ἐξ ἅπαντος μηδ' ἀναπνεῖν[15] ὑπετόπαζε. πίστεως δὲ τὸ πρᾶγμα δόξας ἀνώτερον τοῖς περιεστῶσι τῶν δορυφόρων τὸ

1. ἀσθενεῖ H. — 2. *om.* H. — 3. ἐρρώνυτο G. — 4. αἰτῶν G. — 5. τὰς *add.* H. — 6. ἐξανήπτετο H. — 7. ὁ Δ. ἀμηχανήσας H. — 8. ξένῳ H. — 9. (ἅμα — ἐξαπορούμενος) ἠλέγχθη γὰρ H. — 10. ἠδύνατο G (3). — 11. καταλ. αὐτὸν H. — 13. *om.* H. — 13. ἀποκαθιστᾶ H. — 14. τε H. — 15. (μηδ' ἀναπ.) ἀποθανεῖν H.

μαρτυρικὸν ἐγγύτερον σῶμα θεᾶσθαι προσέταττε καὶ τῶν μελῶν ἕκαστα [1] διαψηλαφᾶν· Ὡς δὲ οἷόν τις τὸ σῶμα μαργαρίτης διέλαμπε καὶ πληγῆς οὐδὲ τὸ τυχὸν ἐγκεχάρακτο γνώρισμα. πρὸς τὸν μάρτυρα Δέκιος· « Τάχα που τὰς ἐκ μαχαιρῶν, ἔφη, τομὰς κατὰ πρόνοιαν τῶν θεῶν [2] ἐξιαθεὶς τῷ Χριστῷ σου ἂν ἐπιγράψῃς τὸ εὐεργέτημα καὶ πάλιν δημιουργῶν ὀφθῇς καθ' ἡμῶν τε πολὺς ῥέων καὶ τῶν θεῶν καταφλυαρῶν ἀφρονέστατα. » Ἐπὶ τούτοις ὑπ' ὀδόντα διαψιθυρίσας· « Μή τινα », τοῖς περιεστῶσιν ἔφη, « κατὰ τὸ λελῃθὸς εἰσηγάγετε, ὃς αὐτοῦ τὰ κεκακωμένα τοῦ σώματος ἐπιμελείας ἠξίωσεν; » Ἐκεῖνοι· « Θάνατος, εἶπον, ἡμῖν ἔστω τὸ ἐπιτίμιον, εἴ τι τοιοῦτον δράσαντες φωραθῶμεν. » Δεινῶς οὖν ἐπὶ τούτοις ὁ τύραννος ἐχαλέπαινε, τὴν ἰσχὺν ὑπὸ τῶν [3] τῆς ἀληθείας [4] ἐχθρῶν οὐ φέρων μαρτυρουμένην ὁρᾶν τοῦ Χριστοῦ [5]· ὅθεν καὶ ὁρμὴ τῷ μάρτυρι ἐνιδών· « Δῆλον, ἔφη, κἂν ἄρτι γενέσθαι τὸν θεραπευτὴν ἡμῖν παρασκεύασον· γοητεία γὰρ μᾶλλον ἢ κρείττονι δυνάμει πεπανουργεῦσθαί σοι τὴν ἴασιν πεπληροφορήμεθα. » Ὁ δέ· « Μηδὲ συλλαλῆσαί μοι ποτὲ γόητι γένοιτο μηδὲ σὺν αὐτοῖς ὅλως μοι τὰ τῆς μερίδος ταχθείη· πῦρ γὰρ ἄσβεστον μετὰ σοῦ τοῖς τοιούτοις ἡτοίμασται. » Τοῦτον ἐκδεξάμενος τὸν λόγον, ὁ βδελυρὸς [6] βασιλεύς· « Ἔστι μοι καὶ δημίων πλῆθος καὶ βάσανοι, εἶπε [7], δι' ὧν καὶ αὖθις ἀπόπειράν σου ποιήσομαι τῆς ἀνδρίας καὶ θεάσομαι [8], εἰ ὁ σὸς Χριστὸς ἐπιβοηθήσει σοι, ᾧ καὶ τὰ τῆς ἰάσεως ἐπιγράφεις. » Πρὸς ταῦτα· « Βέλος μοι, φησί, νηπίων, ὁ ἀθλητής, αἱ παρὰ σοῦ πληγαὶ καταφαίνονται. Λυτὸς γάρ, ὃν εἶπας, Χριστὸς αὐτός μοι πάρεστι βοηθός· εἰ δὲ ᾔδεις, ὅσα μοι ταῖς πληγαῖς ταύταις προξενεῖς ἀγαθά, καὶ αὐτὸς εἶλου κριτὸς ἐπίσης ἐμοὶ ἢ κριτὴς εἶναι καθάπερ νῦν ἀδικώτατος. »

11. Ἐπὶ τούτοις τὸ πεπαρρησιασμένον καὶ θαρραλέον τοῦ μάρτυρος οὐκ ἐνεγκὼν ὁ παρανομώτατος βασιλεύς, θυμῷ μερί-

1. ἕκαστον H. — 2. (τ. Θ.) ἡμετέραν H. — 3. (ὑπὸ τῶν) *om.* H. — 4. ὑπ αὐτῶν ἐκείνων τῶν ταύτης *add.* H. — 5. (τ. X.) *om.* H. — 6. βδελλυρὸς G. — 7. εἶπεν καὶ β. H. — 8. (τῆς — θεάσομαι) *om.* H.

σασθαι τοὺς δημίους τὰ μαρτυρικὰ τούτου μέλη προσέταττε καὶ τοὺς μὲν πλήκτροις τισὶν ὀξυτάτοις τοῦτον κεντεῖν[1], τοὺς δὲ πεπυρωμέναις σούβλαις διαπερονᾶν, ἑτέρους κατὰ κόρρης παίειν, τοὺς δὲ ἄλλους ὕβρεσι πλύνειν καὶ τοὺς θεοὺς ἐπιφωνεῖν αὐτῷ φοβεῖσθαι καὶ τὴν προσήκουσαν νέμειν τιμήν. Ἐπεὶ δὲ ἐκείνους μᾶλλον ἀτονοῦντας ἑώρα ἢ τὸν τοῦ Χριστοῦ μάρτυρα τοῖς ἀλγεινοῖς ἐνδιδόντα[2] καὶ παθαινόμενον, πρὸς πλείονα θυμὸν ἐκκαυθεὶς κατὰ κεφαλῆς αὐτὸν κρεμασθῆναι κελεύει, τοῦ τραχήλου δὲ λίθου τι μέγα ῥῆμα καὶ λίαν τραχύτατον ἐξαφθῆναι· ὡς δὲ καὶ πρὸς τὴν τοιαύτην βάσανον ὁ γενναῖος ἀνδρικώτατα διακαρτερεῖν ἐφάνη οὐκ ἀνθρωπίνῃ φύσει ἀλλὰ θείᾳ συνεργίᾳ, οἱ μὲν[3] παρόντες λῆξαί ποτε τῆς ὀργῆς ἔλεγον τῷ τυράννῳ καὶ μηκέτι κάμνειν ἀπονενοημένῳ ἀνδρὶ μαχομένῳ[4]· οὕτω γὰρ τὴν τοῦ ἀθλητοῦ καρτερίαν οἱ ἀνόητοι ἀπεκάλουν τὸν Δέκιον ὑποπτήσσοντες. Ὁ δὲ τοῖς ἐκείνων λόγοις οὐδέν τι προσέχων τῆς αὐτοῦ[5] εἴχετο γνώμης, ὥστε Μερκούριον τῇ παρατάσει τῶν ἀλγεινῶν τῆς ἐνστάσεως ἐνδοῦναι παρασκευάσαι. Χαλεπὸν γὰρ ἔλεγεν εἶναι φανερῶς οὕτω περιορᾶν ὑπ' ἐκείνου τοὺς θεοὺς καθυβριζομένους, οἳ μείζονα τῶν ἐκ γειτόνων αὐτῷ βασιλέων παρέσχοντο δύναμιν· καὶ διὰ τοῦτο οὐδὲν ἧττον τῆς τῶν ἔργων ὠμότητος εἴχετο τῶν τε κινδύνων ἐπενόει τὸν ἔσχατον. Τοὺς γοῦν περὶ ταῦτα[6] διακονουμένους ἀφελεῖν μὲν ἐκ τοῦ τραχήλου τὸν λίθον ἐπέταττε, τετραφραγέλλῳ δὲ μάστιγι καὶ αὐτῇ χαλκενδέτῳ τύπτεσθαι αὐτὸν ἰσχυρῶς ἐκέλευεν, ἕως, φησί, ταῖς τῶν πληγῶν ἐπιθέσεσιν ἡ δύσερις τούτου ψυχὴ ἀπορραγείη τοῦ σώματος.

12. Ἀλλὰ καὶ οὕτω μακρὰν διέπεσε τοῦ σκοποῦ, ἅτε δὴ τοῦ ἁγίου καὶ ἔτι λίαν εὐψύχως ταῖς ἀλγηδόσιν ἐμμένοντος· μόλις δέ ποτε καταπεινὴς γεγονώς, ὅτι πρότερον ἂν αὐτὸν τὸ τοῦ βίου πέρας ἐκδέξεται[7] ἢ Μερκούριον δυνήσεται μεταπεῖσαι τῆς εἰς Χριστὸν μεταστῆναι[8] ὁμολογίας, τοιαύτην ἐκφέρει κατ' αὐτοῦ

1. κατακεντεῖν H. — 2. ἐνδιδοῦντα H. — 3. N, δὲ G. — 4. διαμαχομένῳ H. — 5. αὐτῆς H. — 6. τὰ τοιαῦτα H. — 7. ἐκδέξαιτο H. — 8. ἀποστῆναι H.

τὴν ἀπόφασιν· « Μερκούριον τὸν τοὺς μεγάλους μὲν ἐξουθεννικότα θεοὺς τοῦ ἡμετέρου δὲ προστάγματος παρακούσαντα εἰς τὴν τῶν Καππαδοκῶν ἀπαχθῆναι κἀκεῖ τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύω. » Ὁ μὲν οὖν εὔχετο τῆς εἰς Ῥώμην ἀπαγούσης· οἱ δὲ τὸν μάρτυρα παραλαβόντες, ἐπεὶ μὴ καὶ [1] βαδίζειν οὗτος ἐδύνατο, τὸ σῶμα τούτου διαβαστάζοντες πρὸς τὴν τῶν Καππαδοκῶν ἤλαυνον. Εἰς τὴν τῶν [2] Καισαρέων δὲ ἀφικόμενοι τὸν ἐκ τῆς μακρᾶς ὁδοῦ γενόμενον αὐτοῖς κάματον παραμυθήσασθαί πως διενοοῦντο· ἔνθα καὶ ὁ Χριστὸς τῷ αὐτοῦ μάρτυρι ἐπιφανεὶς χαίρειν τοῦτον παρακελεύεται, ἤδη τὸν καλὸν ἀγῶνα τετελεκότα καὶ τῶν βραβείων ἐγγὺς γενόμενον, ἐσήμανε δὲ καὶ τὸ τῆς ἀθλήσεως αὐτοῦ τέλος εἰς καλὸν τοῖς τε [3] Καισαρεῦσι καὶ πᾶσι τοῖς δι' αὐτοῦ ἐπικαλουμένοις αὐτὸν γενέσθαι. Καὶ ὁ μὲν οὕτω παρακληθεὶς τὴν ψυχὴν ἐπευξάμενός τε τοῖς εἰς αὐτὸν ἐξαμαρτήσασιν ἀμνηστίαν, ὑπὲρ δὲ τῶν τὴν ἡμέραν τῆς αὐτοῦ τελειώσεως διὰ τιμῆς ἀγόντων μετέπειτα τὸν δεσπότην καθικετεύσας τῷ τοῦ σταυροῦ τε σημείῳ ὅλον ἑαυτὸν ἐπισφραγισάμενος, πληροῦν τὸ προσταχθὲν εἰς αὐτὸν τοῖς δημίοις ἐπέτρεπεν· οἳ καὶ τὴν τελευταίαν τούτῳ διὰ ξίφους πληγὴν ἐπαγαγόντες τὴν αὐτοῦ τιμίαν ἐξέτεμον κεφαλήν, πέμπτην ἐπὶ εἰκάδι τότε τοῦ νοεμβρίου μηνὸς ἄγοντος.

13. Καὶ οὕτω μὲν οἱ τὴν μαρτυρικὴν ἐκείνην [3] ἐνεργηκότες σφαγὴν ὑπεχώρουν [4] ἤδη, πολλὰ τῆς ὠμότητος Δεκίῳ [5] κατηγοροῦντες· ἡ γῆ δέ, ἔνθα τὸ ἀθλητικὸν ἐκεῖνο διὰ Χριστὸν αἷμα κατέρρει, πᾶσα καθηγιάζετο τὸ σῶμά τε τοῦ μάρτυρος ὥσπερ χιὼν ὅλον διέφαινε καὶ εὐωδίας οἱ παρόντες μύρων τε καὶ θυμιαμάτων ἡσθάνοντο· καὶ πολλοὶ δὲ νοσήμασι κατεχόμενοι διαφόροις ὑγείας καὶ θεραπείας ἀπέλαυον, αἰνοῦντες τὸν ἐπὶ πάντων Θεὸν καὶ δοξάζοντες, ὅτι αὐτῷ ἡ δόξα [6] εἰς τοὺς αἰῶνας, ἀμήν.

1. *om.* H. — 2. *om.* H. — 3. *om.* H. — 4. ἀπεχώρουν H. — 5. Δεκίου H. — 6. (ὅτι — δόξα) τιμῶντες δὲ καὶ τὸν αὐτοῦ μάρτυρα Μερκούριον ὅτι Χριστῷ πρέπει τιμὴ κράτος μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ S.